## Περὶ τῆς εἰς ἄλληλα τῶν στοιχείων μεταβολῆς.

Τοιγάρτοι τῷ μὲν βαρεῖ καὶ κούφῳ, τὰ στοιχεῖα συμπληρωτικὰ γίνεται τοῦ παντός, διὰ γὰρ ταῦτα τοῖς τόποις διώρισται, καὶ τὴν πρὸς ἄλληλα τάξιν κεκλήρωται. τῷ δὲ θερμῷ, καὶ ψυχρῷ, καὶ ὑγρῷ καὶ ξηρῷ ποιεῖ τε καὶ πάσχει ὑπ' ἀλλήλων, καὶ τοῦ ὁμοίου φθινητικὰ καθίσταται, τῆς τε εἰς ἄλληλα μεταβολῆς, καὶ τῆς εἰς ἕν τι κοινὸν κρᾶμα κατ' ἀλλοίωσιν ἑνώσεως αἴτια εἰσὶ προσεχῆ τε καὶ πρῶτα, διὸ δὴ οὐδεμίαν ἐστὶν εὑρεῖν ἐν τῷ παντὶ γένεσιν, δίχα τῆς τῶν στοιχείων μεταβολῆς, τὰ μὲν οὖν στοιχεῖα γεννητὰ ἐξ ἀλλήλων ὑπάρχειν, διαῤῥήδην ὁ Φιλόσοφος ἐν πολλοῖς ἀποδέδειχε. καὶ ταῦτα τινῶν παρὰ τοῖς πάλαι λίαν εὐδοκίμων, τὴν εἰς ἄλληλα τῶν στοιχείων μεταποίησιν δεινῶς ἀποφασκόντων, ὧν ὁ μὲν Θαλῆς, καὶ Παρμενίδης, καὶ Διογένης, καὶ Ἡσίοδος, ἃ τῶν στοιχείων ἀρχὰς ἔλεγον, ταῦτά τοι καὶ ἀμετάβλητα ᾤοντο. ὁ δ' Ἐμπεδοκλῆς τὰ τέτταρα ἁπλᾶ σώματα ἀρχὰς τιθέμενος, πάντως τὴν εἰς ἄλληλα τούτων ἀνῄρει μεταβολήν, ὡς δὴ τῆς ἀρχῆς ἀεὶ μενούσης, καὶ μηδέποτε ἀλλαχόσε ποι μεταπιπτούσης, ὧν ἡμεῖς τὰς δόξας πρότερον ἀνασκευάσαντες, νῦν τὸ τοῦ Φιλοσόφου δείξομεν ἐν συνόψει. Πρῶτον μὲν οὖν εἰς γένεσιν ἀναγκαῖον ἐστὶ τὸ κοινὸν ὑποκείμενον, ὅθεν ὁ Φιλόσοφος ἐν πολλοῖς διδάσκει μεταβάλλειν εἰς ἄλληλα, ὧν ἡ πρώτη ὕλη κοινή ἐστι. Δεύτερον αἱ ἐναντιώσεις, ἐπειδὴ γὰρ τἀναντία ἀλλήλων ἐξωθητικὰ ὄντα συνυπάρχειν οὐ δύναται, μάχεται περὶ τὸ κοινὸν ὑποκείμενον, καὶ ἀποβληθέντος τοῦ ἡττημένου, τὸ περιγενόμενον τῶν ἐναντίων προσοικειοῦται τὴν ὕλην, καὶ ταύτῃ συνδιάζεται. ταῦτα μὲν πρώτως εἰς γένεσιν ἀναγκαῖα, καίτοι μὴ καθ' αὑτὸ καὶ πρώτως, ἀλλὰ τῆς ὕλης, ὥς γε καὶ ἔστιν, ἀεὶ μετά τινος εἴδους ὑπαρχούσης, αἱ γὰρ ἐναντιώσεις εἰς μάχην καὶ ἀποβολὴν ἀναγκαῖαι, ἀλλ' οὐκ εἰς ἕνωσιν, οὐδὲ εἰς σύνθεσιν, εἰς δὲ τὴν γένεσιν καθ' ἑαυτὸ θεωρουμένην, οἵ τε ἀντιφατικοὶ τῶν ὅρων κατὰ στέρησιν καὶ ἕξιν, καὶ ἡ τοῦ ὑποκειμένου παθητικὴ δύναμις ἱκανά. τούτων οὖν ἁπάντων ἐν τοῖς στοιχείοις ὑπαρχόντων, μεταβλητὰ εἰς ἄλληλα νομίζεται, καὶ οὐδεὶς αὖ τῶν νοῦν ἐχόντων τῆς εἰς ἄλληλα τούτων μεταῤῥυθμίσεως ἔξαρνος γενήσεται, καί τοι γε οὐ κατὰ τὸ ὅλον δυνατὴ ἡ τοιαύτη τῶν στοιχείων μεταβολή, ἀλλὰ κατὰ τὰ μέρη, τὸ μὲν γὰρ ὅλον εἴδους ἔχει λόγον, ἀτόμων δέ, τὰ μέρη ἐν τοῖς ἁπλοῖς σώμασιν, ὥσπερ οὖν ἑκάστου τῶν ὄντων τὸ εἶδος ἄφθαρτον, ἀΐδιος γάρ ἐστιν ἡ τοῦ παντὸς τελειότης, ἐν τῇ τάξει καὶ εὐρυθμίᾳ τῶν εἰδῶν σωζομένη, τὰ δὲ ἄτομα τρεπτὰ καὶ ῥευστά, οὕτω τοι κἀν τοῖς στοιχείοις τὸ μὲν ὅλον ἄφθαρτον, τὰ δὲ μέρη

με-

μεταβλητά. ἐπειδὴ δὲ τὸ εἶδος ἐν τοῖς ἀτόμοις ἐστὶ, τούτων δὲ φθειρο-
μένων ἁπάντων ἐνδέχοιτ' ἂν πάντως ἀναιρεθῆναι. γεννητικὴν ἡ φύσις ἐν
τοῖς ἀτόμοις δύναμιν ἐγκατασπείρασα, τῇ τῶν ὁμοίων γενέσει τὴν τοῦ
ὅλου διαμονὴν τηρεῖ, καὶ διασώζει. διά τοι τοῦτο καὶ τὰ στοιχεῖα γεννητι-
κὰ πέφυκε τοῦ ὁμοίου, καὶ φθαρτὰ ὄντα κατὰ τὰ μέρη κατ' αὐτὰ ταῦτα
γεννητά εἰσιν, ἵνα τὸ ὅλον ἀεὶ διαμένῃ ὡς εἶδος ἐν τῷ παντί. τινὲς δὲ
καὶ τὴν τῶν στοιχείων ἰσότητα αἴτιον ἀποφαίνονται τῆς μὴ κατὰ τὸ ὅλον
εἰς ἄλληλα τούτων μεταβολῆς. Δευτέρῳ γὰρ περὶ γενέσεως καὶ φθορᾶς,
τοῦ Ἐμπεδοκλέους ἴσα λέγοντος τὰ στοιχεῖα διαιρέσεις τινὰς ἐνεγκὼν ὁ
Φιλόσοφος ἀποδέχεται ἴσα πως εἶναι τὰ στοιχεῖα, διὸ δὴ περὶ τῆς τῶν
στοιχείων ἰσότητος ὀλίγ' ἄττα διεξιέναι ἴσως οὐκ ἀπὸ σκοποῦ, ἴσα μὲν
οὖν ἀλλήλοις εἶναι τὰ στοιχεῖα τοῖς τοιούτοις φανερόν ἐστι. πάντα γὰρ ἐξί-
σου ταῖς ἐναντίαις εἰδοποιεῖται ποιότησι, καὶ σωστικὰ πρώτως ἑαυτῶν,
ἀναιρετικὰ δὲ κατὰ δεύτερον τινὰ σκοπὸν τῶν ἐναντίων. κοινήν τε πάντα
καὶ τὴν αὐτὴν ἔχουσιν ὕλην, καὶ τοῦ ὁμοίου ὑπάρχει γεννητικά. τῶν
τε μικτῶν ἐξ ἴσου πρώτως εἰσὶν ἀρχαί, καὶ πρὸς τὸ αἰθέριον σῶμα
παθητικὰ πάντως φαίνεται, καὶ οὐδενὸς ἧττον θάτερον. Ἔτι δὲ ἀΐδια
πάντα κατὰ τὸ ὅλον καὶ ἄφθαρτα. κατὰ δὲ τὰ μέρη τρεπτὰ καὶ μεταβλητά, διά-
τοι ταῦτα καὶ ὁ Φιλόσοφος δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ
„ λζ΄. συμβλητὰ τὰ στοιχεῖα λέγοντος Ἐμπεδοκλέους, ἢ μὲν οὖν φησι
„ κατὰ τὸ ποσὸν ἀνάγκη ταυτό τι εἶναι ὑπάρχον ἅπασι τοῖς συμβλητοῖς
„ ᾧ μετροῦνται, οἷον εἰ ἐξ ὕδατος κοτύλης εἶεν κοτύλαι ἀέρος δέκα,
τὸ αὐτὸ ἦν ἄρα ἄμφω ᾗ μετρεῖται τῷ αὐτῷ, ἐξ ὧν ἔνιοι ἴσας ἀπο-
νέμουσιν ὕλας τοῖς στοιχείοις, καί τοι γε ὅροις τοῦ μανοῦ καὶ πυκνοῦ ἀλλήλων
πλεῖστον ὅσον μεγέθει διαφέρουσι. τὸ μὲν γὰρ πῦρ πολλαπλάσιον ἀέ-
ρος ἐστὶ, καὶ ὕδατος ὁ ἀήρ. περὶ δὲ ὕδατος καὶ γῆς μεγεθῶν εἰκότως
ἀπορεῖται. ὁ μὲν γὰρ Φιλόπονος δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς,
μορίῳ λζ΄. μείζω τὴν γῆν εἴρηκε τοῦ ὕδατος ὡς ἐστὶν ἰδεῖν παρ' αὐτῷ,
ἀλλ' ὅμως ἡμεῖς τὴν ἐναντίαν ἀποδεχόμεθα δόξαν τοῖς τοῦ Φιλοσόφου
λόγοις ἀκολουθοῦντες. Ἰσότητα γὰρ ὕλης ἀπονενεμηκὼς τοῖς στοιχείοις
τῷ μανῷ καὶ πυκνῷ διαφέρειν φησὶ κατὰ μέγεθος, ὥστ' ἐπειδὴ τῆς γῆς
μανώτερον ἐστὶ τὸ ὕδωρ, καὶ μεῖζον ἔσται, εἰ γὰρ ὕλη ἴση ὑπόκειται
τῷ τε ὕδατι καὶ τῇ γῇ, ὥσπερ ἐκ γῆς τὸ γεννώμενον ὕδωρ πολλαπλά-
σιον ὁρῶμεν, οὕτω τοι ἐξ ὅσης ὕλης ἡ γῆ σύγκειται, ἐξ ἴσης τὸ ὕδωρ
συνιστάμενον πολλαπλάσιον ἔσται. ταῦτα γὰρ ὁ Φιλόσοφος διδάσκων ἐν
μὲν τῷ τετάρτῳ περὶ οὐρανοῦ μορίῳ λζ΄. τοσαύτας φησὶ τὰς ὕλας ὅσα
περ τὰ στοιχεῖα, τέτταρας δὲ, ὅτι καὶ ταῦτα τέτταρα. „ Πέμπτῳ δὲ
„ μετεωρολογικῶν κεφ. γ΄., ὁρῶμεν δὲ φησιν οὐκ ἐν τοσούτῳ μεγέθει γι-



Ε.Υ.Δ. της Κ.Η.Ι ΙΩΑΝΝΙΝΑ 2006

„ νομένην τὴν ὑπεροχὴν τῶν ὄγκων, ὅταν ἐξ ὕδατος ἀὴρ γένηται διακει-
„ θέντος, ἢ πῦρ ἐξ ἀέρος, ἀνάγκη δὲ τὸν αὐτὸν λόγον ἔχειν, ὃν ἔχει τὸ
„ τοσονδὶ καὶ μικρὸν ὕδωρ πρὸς τὸν ἐξ αὐτοῦ γενόμενον ἀέρα, καὶ τὸν
„ πάντα πρὸς τὸ πᾶν ὕδωρ, ὥστε διαῤῥήδην ὁ Φιλόσοφος βούλεται μεῖ-
„ ζον τῆς γῆς εἶναι τὸ ὕδωρ. ἀλλ' ἔτι δὲ καὶ ἀνωτέρω τὴν τῶν στοιχείων
„ ἰσότητα διδάσκει λέγων. ἀλλαμὴν οὐδ' ἀέρος γε μόνου πλήρη, πολὺ
„ γὰρ ἂν ὑπερβάλλοι τὴν ἰσότητα τῆς κοινῆς ἀναλογίας, πρὸς τὰ σύ-
„ στοιχα σώματα καὶ τὰ ἑξῆς. Τινὲς δὲ τῆς τοῦ Ἀριστοτέλους λέξεως ἀπειρῶς ἐχόμενοι, καὶ κατ' αὐτὰς δὴ τὰς ἐπιπολὰς γῆς μὲν ὕδωρ δεκαπλάσιον τιθέασιν, ὕδατος δ' ἀέρα, ἀέρος δὲ πῦρ, καὶ ταῦτα τῷ τε λόγῳ καὶ τῇ αἰσθήσει μαχόμενοι, τὸ μὲν γὰρ ἀπὸ γῆς μέχρι Σελήνης διάστημα ἐπὶ πολὺ συστέλλουσι τῶν ἀστρονομικῶν ἀντιφασκόντων θεωρημάτων. κατὰ δὲ τὴν αἴσθησιν ἐξ ὀλίγου τινὸς ἐλαίου ἀτμὶς ἀναβαίνει ἑκατονταπλασίονος πλείων, μήτοι δεκαπλάσιος, ἐκ δὲ δὴ τούτων ὅπως κατ' ἰσότητα συμβλητά εἰσιν ἀλλήλοις τὰ στοιχεῖα, καί τινα τρόπον εἰς ἄλληλα μεταβάλλει λέλεκται.

## Ὅτι τῶν στοιχείων ἔνια ῥᾷον εἰς ἄλληλα μεταβάλλει.

Τῶν στοιχείων μεταβλητικῶν ὄντων εἰς ἄλληλα, τὰ κατὰ τὴν ἑτέραν ποιότητα συμβλητὰ ὄντα δυσχερέστερον ἐξ ἀλλήλων γίνεται τῶν κατ' ἀμφοτέρας τὰς ποιότητας ἀντικειμένων, χαλεπωτέρα γὰρ ἀεὶ τῶν πλειόνων ἡ μεταβολή, ὥς γε καὶ ὁ Φιλόσοφος δείκνυσιν ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς. ἐπειδὴ τοιγαροῦν τὰ ἐφεξῆς στοιχεῖα, κατὰ θατέραν τῶν ποιοτήτων ἀλλήλοις κεκοινώνηκεν, ἡ τούτων ἐφεξῆς μεταβολὴ θᾶττον τελεῖται, διὸ καὶ ἐκ γῆς ὕδωρ, καὶ ἐξ ὕδατος ἀὴρ, καὶ ἐξ ἀέρος πῦρ δυσχερέστερον γίγνεται ἢ ἐξ ὕδατος πῦρ καὶ ἐκ γῆς ἀὴρ, καίτοι οὐχ ὁμοίως τὰ συμβλητὰ τῶν στοιχείων ῥαδίως εἰς ἄλληλα μεταβάλλει, δυσχερέστερον γὰρ ἐκ πυρὸς γῆ γίνεται ἢ ἐξ ἀέρος πῦρ, καὶ ἐκ γῆς ὕδωρ, ἢ ἐξ ὕδατος ἀὴρ, τῆς μὲν γὰρ γῆς τὸ πῦρ ἀφίστησιν ἡ μανότης, ἡ δὲ ξηρότης δυσμεταβλητοτέραν τὴν γῆν καθίστησιν. Ἐνίοις δὲ ἐκ πυρὸς γῆν βραδύτατα γίγνεσθαι δοκεῖ διὰ τὴν ἐν αὐτοῖς κατὰ βαρύτητα καὶ κουφότητα, καὶ μανότητα καὶ πυκνότητα διαφορὰν, καὶ τὴν τῶν τόπων διάστασιν. καὶ πρὸς τὴν τοῦ Ἀριστοτέλους λέξιν οὐκ ἀλόγως ἀπαντῆσαι πειρῶνται, ὅτι τῶν στοιχείων ὅσα συμβλητὰ θᾶττον εἰς ἄλληλα μεταβάλλει μηδενὸς ἑτέρου κωλύοντος, οἷον τῆς μεταβολῆς περὶ τὰς πρώτας ποιότητας θεωρουμένης. φανερὸν ὅτι τὰ κοινωνοῦντα κατὰ τὴν ἑτέ-

ραν

ΙΩΑΝΝΙΝΑ 2006

ραν ποιότητα δυσχερέστερον μεταβάλλει, ἐνδέχεταί γε ὅμως τινὰ τῶν στοι-
χείων κοινωνοῦντα θατέρας τῶν ποιοτήτων, μὴ τάχιον μεταβάλλειν ἐμπο-
δὼν ὄντων τινῶν ἑτέρων. οἷον τῆς μανότητος καὶ πυκνότητος καὶ βαρύτητος,
καὶ κουφότητος ἐν πυρὶ καὶ ἐν γῇ, τῆς μὲν οὖν τῶν συμβλητῶν στοιχείων
μεταβολῆς ῥᾷστα γινομένης μετὰ ταύτην ἡ εἰς τὸ τρίτον στοιχεῖον ἐκ
δυοῖν μεταβολὴ δυσχερεστέρα ἐστὶ τῆς ἐξ ἐναντίου εἰς ἐναντίον. ἐν ἑκα-
τέρῳ γὰρ τῶν μεταβεβληκότων ἡ ἑτέρα φθείρεται ποιότης, ἡ δ' ἑτέρα
μένει. οἷον ἐκ πυρὸς καὶ ὕδατος ἀὴρ γίνεται θᾶττον, ἢ ἐκ πυρὸς ὕ-
δωρ, ἐν μὲν γὰρ τῷ πυρὶ ἡ ξηρότης φθείρεται, ἐν δὲ τῷ ὕδατι ἡ
ψυχρότης, ἡ δ' ἑτέρα τῶν ἐν ἑκατέρῳ ποιοτήτων μένει ἀμετάβλητος, ἀλλ'
ὅμως εἰδέναι δεῖ ὅτι δυσὶ τούτοις τρόποις ἡ ἐκ δυοῖν ἑνὸς στοιχείου γένεσις
ἀποτελεῖται, ἢ ἐκ τῆς εἰς ἄλληλα τοῖν δυοῖν ποιήσεως καὶ παθήσεως
ἑνὸς τρίτου γιγνομένου, οἷον ὁπηνίκα πυρὸς καὶ ὕδατος εἰς ἄλληλα δρών-
των, καὶ τοῦ μὲν μεταβάλλοντος κατὰ ψυχρότητα, τοῦ δὲ κατὰ ξηρότητα ἀὴρ
γένηται, ἢ κατὰ δυοῖν ἑνὸς τρίτου ἐνεργοῦντος οἷον ὁπηνίκα ὑπὸ πυρὸς
ἀέρος καὶ γῆς τῆς μὲν κατὰ ψυχρότητα, τοῦ δὲ καθ' ὑγρότητα μεταβαλ-
λόντων πῦρ γένηται. Τούτων δὲ οὕτως ἐχόντων ἀπορεῖται Πρῶτον, τίνος
ἕνεκεν τῆς γῆς κοινωνούσης τῷ πυρὶ κατὰ τὸ ξηρὸν, θᾶττον ὅμως ἡ ἐξ
ὕδατος εἰς πῦρ γίγνεται μεταβολή. Τὸ γὰρ ὕδωρ τοσοῦτον γε δεῖ τοῦ
χαλεπῶς μεταβάλλειν, ὥστε καὶ τρέφειν τὸ πῦρ. ἢ ὅτι ἡ γῆ θᾶττον
μετέβαλεν ἂν κατὰ τὰς πρώτας ποιότητας, κωλύεται δὲ τῇ τῶν παρε-
δρευόντων παθῶν διαφορᾷ. Ἀπορεῖται Δεύτερον, οὐ γὰρ δοκοῦσι δυσχερέ-
στερον μεταβάλλειν τἀναντία κατ' ἀμφοτέρας ποιότητας, ὡς γὰρ ἐν τοῖς
συμβόλοις τῶν στοιχείων κατὰ τὴν ἑτέραν τῶν ποιοτήτων τὸ μὲν ποιεῖ,
τὸ δὲ πάσχει, οὕτω τοι ἐν τοῖς ἐναντίοις. τοῦ μὲν πάσχοντος κατ' ἀμφο-
τέρας ποιότητας, τοσαύταις δὴ καὶ ἕτερον μάχεται καὶ πολεμεῖ, ὥστε οὐ-
δὲν ἧττον θᾶττον τὰ δύο ὑπὸ δυοῖν καταπολεμούμενα μεταβάλλεται,
ἢ ὑφ' ἑνὸς τὸ ἕν. ἢ ὅτι ἀντερειστικώτερον ποιεῖ τὸ πάσχον ἡ τῶν ἐναν-
τίων ποιοτήτων συνάφεια, ἀλλά γε καὶ ἡ τῶν ἀντικειμένων συζυγία
δραστικώτερον καθιστᾷ τὸ ποιοῦν. ἢ ὅτι τὰ συμβλητὰ τῶν στοιχείων, οἷα
διάθεσιν ἔχει τὴν ἑτέραν ποιότητα, καὶ ὁμοιότερα τυγχάνει τῶν πάντως
ἐναντίων, διὸ καὶ θᾶττον μεταβάλλει. Ἀπορεῖται Τρίτον, ὅτι τὰ στοι-
χεῖα ποιητικὰ καὶ παθητικὰ γίγνεται διὰ τὴν ἐναντίωσιν, ὥστε τῶν
ποιητικῶν μᾶλλον καὶ παθητικῶν ἡ μεταβολὴ ῥᾷστα γένοιτ' ἄν. ἢ ὅτι
τὰ ἐναντία μᾶλλον ἀνόμοια, διόπερ ὅσῳ γε ποιεῖ σφοδρότερον εἰς ἄλ-
ληλα, τοσούτῳ γε τὸ ἔργον νομίζεται δυσχερέστερον. Ἀπορεῖται Τέταρτον,
ὅτι ἐκ τῶν εἰρημένων συνάγει αὖτις ἀμέσως εἰς ἄλληλα μεταβάλλειν
ἅπαντα τὰ στοιχεῖα, καὶ γίγνεσθαι ἐξ ἀλλήλων δίχα μέσου τινὸς οὐ μό-



Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νον τὰ ἐφεξῆς τῶν στοιχείων, ἀλλὰ καὶ τἀναντία, τοῦτο δὲ ἀδύνατον φαίνεται, ἐπειδὴ γὰρ τὰ τῶν στοιχείων εἴδη τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται φανερὸν ὅτι πλείους ὑπάρχουσιν αἱ μεταξὺ διαφοραὶ, ἃς διέξεισι τὰ μεταβάλλοντα σώματα, ὃ καὶ ἡ πεῖρα μαρτυρεῖν φαίνεται. τῶν γὰρ στοιχείων καὶ ἐν αὐτῇ δὴ τῇ εἰς ἕν τι κοινὸν σύγκραμα μεταβολῇ εἰς ἀτμοὺς καὶ ἀναθυμιάσεις μεταστοιχειουμένων, πολλῷ μᾶλλον ἐν τῇ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον μεταποιήσει διὰ τῶν μέσων ἂν μεταβαῖεν τἀναντία. πρόσθες ὅτι τοσοῦτον πυρὸς ἡ γῆ διέστηκε κατά τε τὸ πυκνὸν καὶ βαρὺ, καὶ μὴ διαφανὲς, ὥστε ἀδύνατον φαίνεσθαι ταύτην μεταβάλλειν ἀμέσως εἰς τὸ πῦρ. Ἔτι δὲ πῦρ γίγνεσθαι δοκεῖ ὅσα ὑγρὰ ὄντα πέφυκεν ἐκπυροῦσθαι, ἡ δὲ γῆ ξηρὰ πάντως ὑπάρχουσα οὐκ ἂν μεταβάλλοι εἰς τὸ πῦρ, εἰμὴ πρότερον ὑγρανθείη. Τελευταῖον ὁπηνίκα ἐκ πυρὸς ὕδωρ γίγνεται ὑγραινόμενον, τὸ πῦρ εἰς ἀέρα πρότερον μεταβληθήσεται, ἢ εἰς ὕδωρ. ὁμοίως δὲ ὅταν ἐξ ὕδατος γίγνεται πῦρ, θερμανθέντος τοῦ ὕδατος, ἔσται πρότερον ἀὴρ ἢ πῦρ, ὥστε οὐ πάντα τὰ στοιχεῖα πέφυκεν εἰς ἄλληλα μεταβάλλειν. διά τοι ταῦτα Σιμπλίκιος πρώτῳ περὶ οὐρανοῦ, καὶ Θεμίστιος παρ' Ἀβερρόῃ, τἀναντία τῶν στοιχείων οὐκ ἐνδέχεσθαι νομίζουσιν ἀμέσως εἰς ἄλληλα μεταβάλλειν, καὶ ταῦτα τοῖς Ἀριστοτέλους δόγμασι διαῤῥήδην ἀντικείμενοι. Δευτέρῳ γὰρ περὶ γενέσεως καὶ φθορᾶς, τἀναντία μεταβάλλειν εἰς ἄλληλα διδάσκει δίχα τῆς ἕν τι μέσον μεταποιήσεως. Αὐτὸ δὲ τοῦτο καὶ ὁ λόγος συμπείθει, κοινὴ γὰρ ἡ πάντων ὕλη καὶ τῶν στοιχειωδῶν εἰδῶν εἰς ἴσα δεκτικὴ φαίνεται. Ἔτι δὲ αἱ παθητικαὶ ποιότητες ἐξίσου πεφύκασι τὸ κοινὸν εἰδοποιεῖν ὑποκείμενον καὶ μηδεμία τῆς ἑτέρας δεῖται, οὐδ' ἐπάγεται χειραγωγουμένη τῇ τῆς ἑτέρας διαθέσει. πρόσθες ὅτι τῶν στοιχείων ἕκαστον ἐστὶ ποιητικὸν, τὸ δὲ ποιητικὸν γεννᾷν ἀμέσως τὸ ὅμοιον ἑαυτῷ πέφυκεν. Ἔτι δὲ καὶ ἡ πεῖρα συνᾴδει, τό, τε γὰρ ὕδωρ πάντως ὂν ἐναντίον τῷ πυρὶ εἰς αὐτὸ τοῦτο μεταβάλλει ἀμέσως, ῥιπτόμενον γὰρ ὑπὸ τῶν Βαναύσων ἐπὶ τοῦ πυρὸς ταχέως ἐξάπτεται. εἰς ἐπίλυσιν δὲ τῶν ἀντικειμένων λόγων δεῖ πρῶτον εἰδέναι ὅτι τοῦ κατ' ἄνεσιν καὶ ἐπίτασιν μέσου οὐδεὶς ἂν ἔξαρνος γένηται. Δεύτερον εἰδέναι δεῖ ὅτι τὰ στοιχεῖα διχῶς ἐνεργεῖν ἐνδέχεται ἢ διὰ μέσου καὶ ἄποθεν, ἢ πλησιάζοντα καὶ ἀμέσως ἁπτόμενα τοῦ πάσχοντος. τὰ μὲν οὖν ἄποθεν ἐνεργοῦντα στοιχεῖα φανερὸν ὅτι εἰς τὸ μεταξὺ μεταβάλλει πρότερον τὸ πάσχον, οἷον τὸ πῦρ πᾶσι τοῖς στοιχείοις ἐπιπολάζον οὐκ ἂν μεταβάλλοι τὴν γῆν εἰς ἑαυτὸ πρώτως, ἀλλ' εἰς ἀέρα, τὰ δὲ ἐγγὺς τοῦ πάσχοντος τιθέμενα, περὶ ὧν ὁ λόγος πρόκειται ἀναμφιβόλως εἰς ἑαυτὰ μεταβάλλει τὸ πάσχον ἀμέσως. ἐξ ὧν καὶ ἡ τῶν ἐναντίων ἐπίλυσις φανερά ἐστι. τὰ γὰρ



ΙΩΑΝΝΙΝΑ 2006

προτιθέμενα μέσα κατὰ τὸ μᾶλλον ἐστὶ καὶ ἧττον. Ἔτι δὲ δεικνύασι τὰ ἀπῳκισμένα τῶν στοιχείων πρότερον εἰς τὸ μεταξὺ μεταβάλλειν ὃ πάντως ἀληθές ἐστι. καὶ ταῦτα μὲν περὶ τῆς εἰς ἄλληλα τῶν στοιχείων μεταβολῆς ἀποχρώντως εἰρήσθωσαν ἡμῖν, ἐκεῖνο δὴ προστιθεῖσιν ἐν παραδείγματος λόγῳ. ὅτι ἐπειδὴ ἡ τῶν στοιχείων μεταβολὴ κατὰ τὰς πρώτας γίγνεται ποιότητας φανερὸν ὅτι αὗται εἰσὶν εἰδοποιαὶ τύπων καὶ συστατικαὶ, ἃ γὰρ ὅροι εἰσὶ τῆς κατ᾽ οὐσίαν μεταβολῆς τῶν πραγμάτων, ταῦτά τοι συστατικὰ καὶ εἰδοποιὰ τῶν μεταβαλλόντων πάντες ᾔδεσαν. εἰ γὰρ ὁ ἀὴρ μεταβάλλει κατὰ τὸ ὑγρὸν πῦρ γίνεται, τίς ἂν ἀποφαίη τῷ ὑγρῷ συνίστασθαι τὸν ἀέρα. ἀλλ᾽ οἱ νεώτεροι πρὸς τὸ τῆς ἀληθείας φῶς ὅλως τυφλώττουσι τοῖς οἰκείοις ἀναπλάσμασι λημῶντες, καὶ ἀμβλυώττοντες, ἀλλ᾽ εἴποιεν ἂν ὅ,τι καὶ βούλοιντο, μὴ γοῦν παρεξηγούμενοι τὰ τοῦ Φιλοσόφου καὶ παραχαράττοντες οἷα παράσιμοι χαλκοπράται καὶ κιβδηλευταί.

## Πότερον ἐστὶ τι στοιχεῖον βέλτιον τῶν ἄλλων;

Τῇ, τε πρὸς τὰ μικτὰ χρήσει, καὶ τῇ τοῦ παντὸς συστάσει κοινῇ τε πάντα τὰ στοιχεῖα, καὶ καθ᾽ ἓν ἕκαστον πλείοσιν ἐγκωμίοις ἐπαίρεται τοῖς τε πάλαι καὶ νῦν Φιλοσόφοις. ἀλλ᾽ ὅμως ἐπιστάσεως ἄξιον, πότερον ἔστι τι τύπων τιμιώτερον τῶν στοιχείων. τῶν μὲν γὰρ ἀρχαίων ἕκαστος ἓν τῶν στοιχείων ἀπένειμε τὰ πρῶτα, Γῇ μὲν Ἡσίοδος, Ὕδατι δὲ Θαλῆς, Ἀέρι δ᾽ Ἀναξιμένης, Πυρὶ δὲ Ἡράκλειτος. οὓς ἀποσφαλῆναι τῆς ἀληθείας φθὰς ὁ λόγος ἀποδέδειχεν. οἱ δ᾽ ἐν τῇ περιπάτῳ τιμιότητι διαφέρειν οἴονται τὰ στοιχεῖα. ὃ γὰρ ἂν μέρος τοῦ ὑπὸ Σελήνην σώματος αἰθέρι μᾶλλον ἐγγὺς τέτακται, τοῦτο τῶν ἄλλων ὑπερτερεῖν εἰκότως νομίζουσιν. ἐπειδὴ οὖν τὸ πῦρ τῆς Σεληνιακῆς ἅπτεται σφαίρας, καὶ πᾶσιν ἐπιπολάζει τοῖς ἄνω φερομένοις σώμασιν εὐθὺς ὑπὸ τὸ αἰθέριον σῶμα χώραν ἐσχηκὸς, φανερὸν ὅτι τῶν ἄλλων ὑπερτερεῖ. Πρῶτον μὲν γὰρ ὁμοιότερόν ἐστι πάντων τῷ οὐρανίῳ σώματι, τῷ τε διακινεῖ, καὶ τῷ περιέχειν τὰ ἄλλα. Ἔτι δὲ εἰδοπεποίηται τῷ θερμῷ πρωτογόνῳ ὄντι τῆς οὐρανίου δυνάμεως, λεπτυντικόν τε ἐστὶ καὶ καθαρτικὸν, καὶ φίλον τῇ φύσει ὡς συγκριτικὸν, καὶ συνεκτικὸν τῶν ὁμογενῶν, δραστικόν τε μάλιστα, πάντα τε διανέμει διερχόμενον, καὶ πάντα τελειοῖ συμπληροῦν τῶν μικτῶν ἐστὶ τελειωτικὸν, τῶν ἐμψύχων ζωοποιὸν, τῶν γενομένων εἰδοποιὸν, εὐκινητότατον ὑπάρχει μετὰ τὸ αἰθέριον σῶμα, καὶ τούτῳ συγκινεῖται διηνεκῶς, ἀκριβῶς εὔτορνον ὑπάρχει τῇ κοίλῃ τῆς σεληνιακῆς ἐπιφανείας σφαίρᾳ σχηματιζόμενον, ἄσηπτόν ἐστι τὰ μάλιστα



ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἀδιάφθορον ὡς ἐν καθαρᾷ αὐτοῦ διατηροῦν τὴν φύσιν. εἶδός τε λόγον ἔχει πρὸς τὰ ὑπ' αὐτὸ σώματα, καὶ τῷ μεγέθει τῶν ἄλλων ἐξήπλωται πολλαπλασίως. πρόσθες ὅτι ὡς ὀργάνῳ τούτῳ ἡ ψυχὴ χρῆται, τῷ γὰρ θερμῷ πέττει τε καὶ εἰς τὸ ὅμοιον μεταβάλλει τὸ προσιόν. αὔξεταί τε τὰ ζῶα, καὶ γεννητικὰ ὑπάρχει διὰ τοῦτο, τούτῳ χαίρει τὸ πᾶν ἔαρι θάλλον, θέρους καὶ φθινοπώρου καρποφοροῦν, καὶ μυρίας τροφὰς τοῖς ζώοις παρέχον, διὸ δὴ καὶ Πλωτῖνος ἐννεάδων πρώτη βιβλίῳ ἕκτῳ, κεφ. γ'., ὅθεν καὶ τὸ πῦρ φησιν αὐτὸ παρὰ τὰ ἄλλα σώματα καλὸν, ὅτι τάξιν εἴδους πρὸς τὰ ἄλλα στοιχεῖα ἔχει, ἄνω μὲν τῇ θέσει, λεπτότατον δὲ τῶν ἄλλων σωμάτων ὡς ἐγγὺς ὂν τοῦ ἀσωμάτου, μόνον δὲ αὐτὸ οὐκ εἰσδεχόμενον τὰ ἄλλα, τὰ δ' ἄλλα δέχεται αὐτὸ, θερμαίνεται γὰρ ἐκεῖνα οὐ ψύχεται δὲ τοῦτο, κέχρωται δὲ πρώτως, τὰ δ' ἄλλα παρὰ τούτου τῆς χρόας τὸ εἶδος λαμβάνει, λάμπει οὖν καὶ στίλβει, ὡς ἂν εἶδος ὂν, τὸ δὲ μὴ κρατοῦν ἐξίτηλον τῷ φωτὶ γιγνόμενον οὐκ ἔτι καλὸν, ὡς ἂν τοῦ εἴδους τῆς χρόας οὐ μετέχον ὅλου, ὡσαύτως δὲ καὶ Ἀλέξανδρος ἐν τῷ περὶ Φυσικῶν ἀποριῶν καὶ λύσεων κεφαλαίῳ τὰ μετέχοντα τοῦ πυρὸς μᾶλλον μικτὰ τιμιώτερα καλεῖ. τοσούτοις οὖν προτερήμασιν ὑπερανεσχηκότος τοῦ πυρὸς, ἀλλ' ὅμως ἡ γῆ ἁμιλλᾶται πρὸς αὐτὸ, καὶ τοῦ πρωτείου φιλοτιμεῖται. Ἡσίοδόν τε καὶ Φερεκύδην τὸν χίον ἐπαινέτας ἔχουσα καὶ συνηγόρους, οἷς συνᾴδει, καὶ Ἀβικένας ὁ ἄραψ, τοιούτους τινὰς προτιθέμενος λόγους, κυριώτερα γάρ εἰσιν ἐν τῷ παντὶ καὶ τῇ φύσει πρότερα ἃ πρώτως συνιστῶσι τὸ πᾶν, τοιαῦτα δὲ ἥ, τε γῆ καὶ ὁ οὐρανὸς, ἡ μὲν ἐν τῷ μεσαιτάτῳ ταττομένη, καὶ λόγον ἐπέχουσα κέντρου, ὁ δὲ ἐν τῷ πέριξ καὶ τὸν ἀνωτάτω τόπον ὁρίζων, μάλιστα δὲ ἀναγκαία ἡ γῆ φαίνεται τῇ τῶν οὐρανίων σωμάτων κινήσει, περὶ αὐτὴν γὰρ τῇ φορᾷ δινεῖται· ὅθεν δευτέρῳ περὶ οὐρανοῦ δεῖσθαι τῆς γῆς ἠρεμούσης ὁ οὐρανὸς λέγεται. Οἱ δὲ Πυθαγόρειοι ὡς λέγεται παρὰ Σιμπλικίῳ δευτέρῳ περὶ οὐρανοῦ μοίρᾳ μζ'. θρόνον καὶ φυλακὴν πυρὸς προσηγόρευον οἷα τόπον ὑπάρχουσαν τοῦ Διὸς, τούτου δὲ ὁπόσης ἀξιοῖ τιμῆς τὴν γῆν φανερὸν πᾶσιν. Ἔτι δὲ ἡ γῆ τόπος ἐστὶ τῶν εἰδῶν ἁπάντων ὅσα κοσμοῦσι τὸ πᾶν, μετάλλων τε καὶ φυτῶν, καὶ ζώων παντοίων. καὶ αὐτοῦ δὴ τοῦ ἀνθρώπου, ὥστ' ἐπειδὴ τέλος πως ἁπάντων ὁ ἄνθρωπος ἐστὶν, ὡς λέγεται δευτέρῳ Φυσικῶν, καὶ ἡ γῆ προτέρα πως ἔσται. Ἔτι δὲ τέλος ἐστὶ τῆς κινήσεως ἡ ἠρέμισις ἐν τοῖς ὑπὸ Σελήνην, ἡ δὲ γῆ μόνη τῶν ἄλλων ἁπάντων ἐν τῷ μέσῳ ἠρεμεῖ, καὶ οἷα δεσπότης ταῖς τῶν ἄλλων ὑπουργίαις χρῆται εἰς τὴν τῶν γιγνομένων σύστασιν. παρὰ ταῦτα πάντες ἄνθρωποι πάλαι τε καὶ νῦν, περὶ τὴν τῆς γῆς μάχονται δεσποτείαν καὶ κυριότητα, πολέμους τε συνάραντες καὶ φόνους ἐπιφέροντες ἀλλήλοις.



ΙΩΑΝΝΙΝΑ 2006

μάλιστα δὲ καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων ὅσοι τὸν ἰδιωτικὸν διάγουσι βίον. τῶν ἐκ τῆς γῆς ἕνεκα, χρυσοῦ τε καὶ ἀργύρου καὶ τροφῶν ὁσημέραι μόχθῳ προσομιλοῦσι, δι' ἃ δὴ μήτηρ ἁπάντων ἡ γῆ λέγεται καὶ γαμετὴ οὐρανοῦ, ἐν αὐτῇ γὰρ τὰ οὐράνια σώματα τὰ μικτὰ πάντα γεννᾷ καὶ τρέφει, ὥστε καὶ νομίμως αὐτοῖς κοινωνεῖν τοῦ πρωτείου. τοιούτων δή τινων λόγων ἀντιμαχομένων εἰς ἀκριβῆ τοῦ ζητουμένου λύσιν εἰδέναι δεῖ, ὅτι ἐν τῷ παντὶ τὰ πρότερα τῇ γενέσει καὶ ἀναγκαιότερα ὕλης ἔχοντα, ἢ μέρους λόγον ἀτελέστερα εἰσὶ καὶ ἀτιμότερα. Ἔτι δὲ διχῶς ἐνδέχεται ἡ γῆ παραβάλλεσθαι τῷ πυρὶ, ἢ καθ' ἑαυτὴν καὶ ὡς στοιχεῖον ἁπλοῦν. ἢ ὡς ὑποκειμένη τοῖς εἴδεσι τῶν πραγμάτων, καὶ κοσμουμένη τούτοις. ὧν οὕτως ἐχόντων φανερὸν, ὅτι πῦρ μὲν καθ' ἑαυτὸ τιμιώτερον γῆς, καὶ πολλῷ μᾶλλον κατ' ἀξίαν ὑπερέχον, πυρὸς δὲ ὅμως ἡ γῆ ἀσυγκρίτως ὑπερτερεῖ μυρίοις ὅσοις εἴδεσι καταγλαϊζομένη, ποταμοῖς γὰρ ἀρδεύεται καὶ διαχεῖται, καὶ θαλάσσῃ περιστρέφεται, κόλποις τε πελαγῶν, καὶ λιμένων πλήθει κοσμεῖται, φυτοῖς δὲ παντοίοις ὡραΐζεται, ὁτὲ μὲν ἀνθῶν εὐκοσμίᾳ, ὁτὲ δὲ καρπῶν εὐφορίᾳ, καὶ γλυκύτητι κομῶσα, καὶ χαίρουσα, ζῷά τε τρέφει παντοῖα, τὰ μὲν μεγέθει ὑπεραίροντα, τὰ δὲ δυνάμεσιν ἀμβρυνόμενα, τὰ δὲ ποδῶν τάχει καὶ σωμάτων εὐστροφίᾳ σεμνυνόμενα, μυρίων ὅσων καὶ αἱ τέχναι ἐπαινοῦνται, καὶ τὰ ἔργα πᾶσιν ἐφετά. ἀπὸ γὰρ τούτων σηρικαί τε ἐσθῆτες, καὶ τὰ ἐξ ἰνδίας αἴγεια ὑφάσματα, πρόσθες λίθων κάλλος πολυτελῶν, λαμπρότητι καὶ ποικιλίᾳ χρωμάτων τέρποντα τοὺς ὀφθαλμοὺς, τούτων δὲ οὐδὲν ἧττον τίμια ἀλλὰ καὶ χρήσιμα μᾶλλον ἀνθρώποις τὰ παντοῖα τῶν μετάλλων εἴδη, οἷς ἅπασιν ἡ γῆ κοσμουμένη πολλῷ διαλείμματι καταλείπει τὸ πῦρ. Ἔτι δὲ καὶ πρὸς τοὺς λοιποὺς λόγους ῥᾳδία ἡ ἀπάντησις, καθ' ἑαυτὴν γὰρ ἡ γῆ συγκρινομένη τῷ πυρὶ ἀτιμοτέρα ἐστὶν ὕλης ἔχουσα λόγον. διὸ δὴ καὶ τῇ γενέσει ἀρχοειδεστέρα ἐστὶν ἐν τῇ τάξει τοῦ παντὸς ἐν τῷ μεσαιτάτῳ ταττομένη, καὶ κέντρον ὑπάρχουσα τῆς τῶν οὐρανῶν κύκλῳ φορᾶς. Κἀκεῖνο δὲ ἐνταῦθα ἐπιστάσεως ἄξιον ὡς λέγεται ἐν δευτέρῳ περὶ οὐρανοῦ
„ μορίῳ ιδ'., ὥσπερ γάρ φησι τὸ μέσον ἁπλῶς λεγόμενον, καὶ τὸ τοῦ
„ μεγέθους μέσον, καὶ τοῦ πράγματος ὂν μέσον, καὶ τῆς Φύσεως, καί-
„ τοι καθάπερ ἐν τοῖς ζώοις οὐ τὸ αὐτὸ τοῦ ζώου καὶ τοῦ σώματος τὸ μέ-
„ σον, οὕτως ὑποληπτέον μᾶλλον καὶ περὶ τὸν ὅλον οὐρανὸν, διὰ μὲν οὖν
„ ταύτην τὴν αἰτίαν, οὐθὲν αὐτοὺς δεῖ θορυβεῖσθαι περὶ τὸ πᾶν, οὐδὲ
„ εἰσάγειν φυλακὴν ἐπὶ τὸ κέντρον, ἀλλ' ἐκεῖνο ζητεῖν τὸ μέσον ποῖόν τε,
„ καὶ ποῦ πέφυκεν, ἐκεῖνο μὲν γὰρ ἀρχὴ τὸ μέσον καὶ τίμιον, τὸ δὲ τοῦ
„ τόπου μέσον οὐκ ἔοικε τελευτῇ μᾶλλον, ἢ ἀρχῇ, τὸ μὲν γὰρ ὁριζόμενον,
„ τὸ μέσον τὸ δὲ ὁρίζον τὸ πέρας. τιμιώτερον δὲ τὸ περιέχον καὶ τὸ

„ πέρας ἢ τὸ περαινόμενον. Τὸ μὲν γὰρ ὕλη, τὸ δὲ οὐσία τῆς συστάσεώς ἐστιν. Ὁμοίως δὲ καὶ πρὸς τὰς λοιπὰς ἐνστάσεις ἀπαντῶμεν, ὅτι τελεωτέρα ἐστὶ τοῦ πυρὸς ἡ γῆ διὰ τὰ ἐν αὐτῇ εἴδη, ἀλλ' οὐ καθ' ἑαυτήν. Ἐπαποροῦσι δέ τινες ὅτι οὐ δοκεῖ πάντων ἁπλῶς τιμιώτατον τὸ πῦρ, ὁ γὰρ ἀὴρ ἀμφοτέρας τὰς ποιότητας ζωτικὰς ἔχων ὑπερέχειν φαίνεται, ἵδρυται γὰρ τὸ ζῆν ἐν τῷ θερμῷ καὶ ὑγρῷ. Ἢ ὅτι τῆς τελειότητος ἑκάστου κατὰ τὸ εἶδος κρινομένης, τὸ πῦρ ἀέρος ἐστὶν ἐγκριτώτερον τῷ θερμῷ συνιστάμενον, ποιητικαὶ γὰρ καὶ συνεκτικαὶ ποιότητες τὸ θερμὸν καὶ ψυχρόν, τὸ δὲ θερμὸν ὑπερέχει, ὥστε καὶ τὸ πῦρ τοῦ ψυχροῦ καὶ ὑγροῦ, καὶ ξηροῦ. ἐν δὲ ταῖς παθητικαῖς ποιότησι τοῦ ξηροῦ τὸ ὑγρὸν ὑπερτερεῖ, διὸ δὴ καὶ ἀὴρ μετὰ τὸ πῦρ ἡγεῖται τῇ τιμιότητι, ὑγρῷ μὲν συνιστάμενος, θερμοῦ δὲ οὐκ ἀμοιρῶν, ἐγγύτερός τε τῶν ἄλλων οὐρανῷ ὑπάρχων. ἀναπνοῆς τε τὴν χρείαν τοῖς ζώοις παρέχων, καὶ οἷα πορθμεῖον ὑπάρχων τῶν οὐρανίων ἐνεργειῶν. ἀλλὰ ταῦτα μὲν περὶ στοιχείων ἅλις, πάλιν δὲ ἐπὶ τὴν τοῦ Φιλοσόφου λέξιν τραπώμεθα.

## ΚΕΦΑ'ΛΑΙΟΝ, Ε'ΝΝΑΤΟΝ.

### Περὶ πάσης γενέσεως, πόσαι τε καὶ τίνες αὐτῆς αἱ ἀρχαί.

ΤΩ͂ν ἐν τῷ παντὶ σωμάτων ἔνια μέν εἰσιν ἀΐδια, ἔνια δὲ γεννητὰ καὶ φθαρτά. ἐπεὶ δὲ τούτων τὰ σύνθετα ἐξ ἁπάντων τῶν ἁπλῶν σωμάτων ἐν τῷ περὶ τὸ μέσον τόπῳ πέφυκε γίγνεσθαι, πρὶν ἢ τῆς κατὰ μέρος τούτων γενέσεως σκεψώμεθα, λεκτέον ἐν γένει πόσαι τε καὶ τίνες εἰσὶν αὐτῆς αἱ ἀρχαί, τὰ γὰρ καθ' ἕκαστα μᾶλλον γινώσκεται, ὅταν περὶ τῶν καθόλου διαλάβωμεν πρῶτον. δυοῖν δὲ τούτοιν προκειμένοιν εἰς σκέψιν τοῦτε ἀριθμοῦ τῶν ἀρχῶν καὶ ὁποῖαι τινὲς οὖσαι τυγχάνουσι, δεῖ πρῶτον εἰδέναι ὅτι τοσαῦται εἰσὶν ἀρχαὶ τῶν κατὰ μέρος, καὶ τῷ γένει τῆς αἰτίας αἱ αὐταί, αἵπερ ἐν τοῖς ἀϊδίοις καὶ πρώτοις, τουτέστι τοῖς εἴδεσι τοῖς καθόλου τῶν γεννητῶν καὶ φθαρτῶν. ὅθεν τῆς διδασκαλίας περὶ τὰ καθόλου γιγνομένης ληπταὶ ἔσονται καὶ αἱ κατὰ μέρος ἀρχαί. εἰσὶ μὲν οὖν τῶν γεννητῶν ἀρχαὶ δύω, ἡ μὲν ὡς ὕλη, ἡ δὲ ὡς μορφή, δεῖ δὲ καὶ τὴν τρίτην ἔτι προσυπάρχειν, ἥτις ἐστὶν ἡ ποιητικὴ αἰτία, οὐ γὰρ ἱκαναὶ πρὸς τὸ γεννῆσαι αἱ δύω. πᾶσα γὰρ γένεσις ὑπό τινος



ΙΩΑΝΝΙΝΑ 2006

αἰτίου ποιητικοῦ τελεῖται, καθάπερ οὐδ' ἐν τοῖς εἴδεσιν ἱκαναί· ἡ ὕλη καὶ ἡ μορφή, ἀλλ' ἀποδοτέον καί τι τρίτον αἴτιον καθόλου, καὶ ἀΐδιον, ὡς αἴτιον τῆς τῶν γιγνομένων ἀϊδίου διαμονῆς κατὰ τὸ εἶδος. αἴτιον μέν τοι τοῖς γεννητοῖς ἅπασιν ὡς ἡ ὕλη τὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι. ἐπειδὴ γὰρ τὰ γιγνόμενα πάντα τῷ δύνασθαι εἶναι καὶ μὴ εἶναι ὁρίζεται, ἀρχὴ τούτων ὡς ὕλη τὸ δυνάμενον εἶναι, καὶ μὴ εἶναι τοιοῦτον. καὶ γὰρ τῶν ὄντων τὰ μὲν ἐξ ἀνάγκης ἐστὶν, οἷον τὰ ἀΐδια, τὰ δὲ οὐκ ἐστὶν ἐξ ἀνάγκης. τούτων δὲ τὰ μὲν ἐξ ἀνάγκης ὄντα ἀδύνατον μὴ εἶναι, τὰ δὲ, ἀδύνατον εἶναι διὰ τὸ μὴ ἐνδέχεσθαι παρὰ τὸ ἀναγκαῖον ἄλλως ἔχειν, ἔστι δ' ἃ τῶν ὄντων εἶναι καὶ μὴ εἶναι δύναται, ὅπερ ἐστὶ τὸ γεννητὸν καὶ φθαρτὸν, ποτὲ γὰρ ἐστὶ τοῦτο, ποτὲ δὲ οὐκ ἔστιν, ὕλη τοίνυν τῶν γεννητῶν ἐστὶ καὶ φθαρτῶν, δι' ἣν ταῦτα εἶναι, καὶ μὴ εἶναι δύναται, ἀρχῆς γὰρ οὔσης πάσης μεταβολῆς τῆς ὕλης, διὰ τὴν ἐν αὐτῇ δεκτικὴν ὁτουοῦν εἴδους δύναμιν, φανερὸν ὅτι τὰ γεννητὰ καὶ φθαρτὰ, μεταβλητὰ καὶ ἐνδεχόμενα πέφυκε διὰ τὴν ὑποκειμένην ὕλην, μορφὴ δὲ τούτων, καὶ εἶδος, καὶ ὡς τὸ οὗ ἕνεκα ὁ λόγος ὁ τῆς ἑκάστου οὐσίας, ὡς ὁρίζει τοῦτο, καὶ διακρίνει τῶν ὁμογενῶν. οὐχ ἱκαναί γε ὅμως ἡ ὕλη καὶ τὸ εἶδος, χωρισταὶ γὰρ οὖσαι ἑτέρου δέονται τοῦ συνδυάζοντος, καὶ συντιθέντος, ὅπερ ἐν μὲν τοῖς καθ' ἕκαστα φανερὸν, τῶν γὰρ καθ' ἕκαστα γιγνομένων ἀεὶ τί ἐστι τὸ ἐπὶ μέρους αἴτιον, οἷον Σωκράτης τῆς τοῦ Ἀρισίππου γενέσεως, τὸ δὲ καθόλου ὅπερ εἰς ζήτησιν πρόκειται ἅπαντες μὲν ὀνειρώττουσι, λέγει δὲ οὐδείς. Τούτων γὰρ οἱ μὲν ὥσπερ ὁ ἐν τῷ Φαίδωνι Σωκράτης πρὸς τὸ γίγνεσθαι τὴν τῶν εἰδῶν φύσιν αἰτίαν νομίζουσι, καὶ τοῖς εἴδεσι τὸ ποιητικὸν ἀπονέμουσιν, ἐπιτιμήσας γὰρ ἐκεῖνος τοῖς ἀμφὶ τὸν Ἀναξαγόραν, ὅτι νοὸς μνησθεὶς ἐξ ἀρχῆς ὡς αἰτίας, τῆς τοῦ παντὸς διακοσμήσεως, οὐδὲν ὕστερον εἴρηκε περὶ τούτου, τὴν οἰκείαν δόξαν ἐκθέμενος τῶν ὄντων, τὰ μὲν εἴδη φησὶν εἶναι, τὰ δὲ μεθεκτικὰ τῶν εἰδῶν, οἷον ἡ πρώτη ὕλη, ἥτις ἐστὶ τὸ πανδεχές. ἕκαστον μὲν οὖν τῶν γιγνομένων καὶ φθειρομένων ἐπειδὴ εἶναι λέγεται κατὰ τὸ εἶδος, κατ' αὐτὸ τοῦτο γίγνεται καὶ φθείρεται. καὶ γίγνεται μὲν τῶν εἰδῶν μεταλαμβανούσης τῆς ὕλης, φθείρεται δὲ ἀποβαλλούσης, ὥστε εἰ ταῦτα ἀληθῆ, τὰς ἰδέας οἴεται Πλάτων ἐξ ἀνάγκης εἶναι αἰτίας γενέσεως καὶ φθορᾶς. μετεχομένας γὰρ φησὶ ποιεῖν τὰ δυνατὰ τῶν ὄντων, ἐπειδὴ ὑπάρχει τὰ γιγνόμενα κατὰ μέθεξιν τῶν εἰδῶν, φθείρειν δὲ μὴ μετεχομένας, οἱ δὲ αὐτῇ τῇ ὕλῃ τὴν ποιητικὴν αἰτίαν ἀπένειμαν, ποιητικὸν γὰρ ᾠήθησαν τὴν ἀρχὴν τῆς κινήσεως, ἀπὸ δὲ τῆς ὕλης εἶναι φασὶ τὴν κίνησιν, αὕτη γὰρ κινουμένη γενέσεως αἰτία γίγνεται, ὅμως οὐδέτεροι λέγουσι καλῶς. Πρῶτον μὲν γὰρ ἁμαρτάνει Πλάτων, ὅτι τὰ εἴδη

αἴτια λέγων ποιητικὰ, οὐκ ἔχει ἀποδοῦναι διατὶ οὐκ ἀεὶ γεννᾷ συνεχῶς, ὥστε μηδέποτε εἶναι φθορὰν, ἀλλὰ ποτὲ μὲν ἐστὶ γένεσις, ποτὲ δὲ οὔ, ἀλλὰ φθορά, τοῦ γὰρ ποιητικοῦ ἀεὶ καὶ παθητικοῦ τὸν αὐτὸν τρόπον ἐχόντων, τὸ αὐτὸ ἔσται ἀεὶ ἀποτέλεσμα, τὰ δὲ εἴδη ἅπερ ἐστὶ ποιητικὰ κατὰ Πλάτωνα, καὶ τὰ μεθεκτικὰ ἀεὶ ὡσαύτως ἔχει, ὥστε καὶ γένεσις ἀεὶ ἔσται καὶ μιδεμία φθορά. Ἔτι δὲ ὡς ἐπὶ τῶν τεχνητῶν θεωροῦμεν, ἡ γὰρ τέχνη μιμεῖται τὴν φύσιν, ὅθεν ἀπὸ τῶν κατ' αὐτὴν ἔργων καὶ τὰ τῆς Φύσεως εἰκότως θηρεύεται, ἄλλο τί ἐστι τὸ αἴτιον παρὰ τὴν ὕλην καὶ τὸ εἶδος, καὶ τῆς ὕλης, καὶ τοῦ εἴδους ὄντων, δίχα τοῦ ποιοῦντος συνυπάρχειν ἀδύνατον, ἔστι γὰρ καὶ ὑγεία καὶ ἐπιστήμη, καὶ τὰ μεθεκτικὰ τούτων, ἀδύνατον ὅμως ἐπιστήμην λαβεῖν, ἢ ὑγείαν, ἀλλ' ἢ τοῦ ἰατροῦ ἐμποιοῦντος ὑγιείαν τῷ μεθεκτικῷ, καὶ τοῦ ἐπιστήμονος ἐπιστήμην, ὡσαύτως δὲ καὶ ἐπὶ πάντων τῶν κατὰ δύναμιν καὶ ἕξιν πραττομένων, ἀδύνατον γὰρ μετάληψιν εἴδους γενέσθαι μὴ ὄντος τινὸς τοῦ ποιοῦντος, οὕτως οὖν καὶ ἐπὶ τῶν φύσιν ἐχόντων, τῆς τε ὕλης καὶ τοῦ εἴδους ὑπαρχόντων ἀδύνατον ἐστὶ χωρὶς τοῦ ποιητικοῦ τὴν σύνθεσιν γενέσθαι. οἱ δὲ τὴν ὕλην γεννᾷν λέγοντες διὰ τὴν κίνησιν φυσικώτερον τὸ αἴτιον ἀποδιδόασι. Τὸ γὰρ ἀλλοιοῦν καὶ τὸ μετασχηματίζον αἰτιώτερον ἐστὶ τοῦ γεννᾷν. καὶ γὰρ ἐν ἅπασιν ὁμοίως ἔν τε τοῖς φύσει, καὶ ἐν τοῖς ἀπὸ τέχνης τοῦτο λέγειν εἰώθαμεν τὸ ποιοῦν, ὃ ἂν ᾖ κινητικὸν, ὅθεν οὗτοι μὲν φυσικώτερον διορίζουσι διὰ τὴν κίνησιν ποιητικὴν τιθέμενοι τὴν ὕλην, ἥκιστα δὲ Πλάτων οὐ διὰ τὴν κίνησιν, ἀλλὰ διὰ τὴν μετάληψιν καὶ τὴν ἀποβολὴν τὰ εἴδη λέγων αἴτια ποιητικά. οὐ μὴν, ἀλλὰ καὶ οὗτοι οὐκ ὀρθῶς λέγουσι. τῆς γὰρ ὕλης ἴδιον τὸ πάσχειν καὶ τὸ κινεῖσθαι. Τὸ δὲ ποιεῖν καὶ τὸ κινεῖν ἑτέρας ἐστὶ δυνάμεως, ἀλλ' οὐ τῆς ὑλικῆς. τοῦτο δὲ δῆλον ὁμοίως καὶ ἐπὶ τῶν τέχνῃ, καὶ ἐπὶ τῶν φύσει γιγνομένων. οὔτε γὰρ αὐτὸ ποιεῖν τὸ ὕδωρ ζῷον ἐξ ἑαυτοῦ, οὔτε τὸ ξύλον κλίνην, ἀλλ' ὥσπερ μὲν τῶν ἀπὸ τέχνης ἕτερον τῆς ὕλης τὸ ποιητικὸν, οἷον ἡ τέχνη, οὕτω κἀπὶ τῶν φύσει γιγνομένων ἕτερον τῆς ὕλης τοῦ πάσχοντος τὸ ποιοῦν, δι' ὃ τοίνυν τοῦτο οὐκ ὀρθῶς λέγουσιν οὗτοι συγχέαντες τῇ ὕλῃ τὴν ποιητικὴν αἰτίαν. Δεύτερον δὲ ὅτι παραλείπουσι τὴν κυριωτέραν αἰτίαν, ἀναιροῦσι γὰρ τὴν μορφὴν καὶ τὸ τί ἦν εἶναι, μὴ λέγοντες γὰρ εἶναι ποιητικὸν αἴτιον χωριστὸν τῆς ὕλης, οὐδὲ τὸ τελικὸν ἀποδιδόασι. Τούτων δὲ μὴ ὄντων οὐδὲ τὸ εἶδος ἐστὶ, ταυτὸν γάρ ἐστι τό, τε ποιητικὸν, καὶ τὸ οὗ ἕνεκα, καὶ τὸ εἶδος τῷ λόγῳ. Ἔτι δὲ τῶν τῇ ὕλῃ τὴν ποιητικὴν αἰτίαν ἀπονεμόντων δυνάμεις ἀποδιδόασι τοῖς ἐν ὕλης λόγῳ παραλαμβανομένοις σώμασιν οἷον τὸ θερμὸν καὶ τὸ ψυχρὸν, δι' ἃς γεννῶσι τὰ σύνθετα λίαν ὀργανικῶς, καὶ γὰρ ἀναιροῦσι τὴν καθόλου ποιητι-



ΙΩΑΝΝΙΝΑ 2006

τὴν αἰτίαν, τὰς δ᾽ ἐν τοῖς σώμασι δυνάμεις ὄργανα μᾶλλον ὄντα τῆς τῶν οὐρανῶν ποιητικῆς δυνάμεως εἰς τὴν τῶν μικτῶν σύνθεσιν πρώτως ἀποφαίνονται ποιητικὰς αἰτίας, ἐπειδὴ γὰρ πεφυκέ φασι τὸ μὲν θερμὸν διακρίνειν, τὸ δὲ ψυχρὸν συνιστάναι, ὥστ᾽ εἶναι ποιητικά, τῶν δὲ ἄλλων ἕκαστον τῶν ἐν τῷ παντὶ, τὸ μὲν ποιεῖν, τὸ δὲ πάσχειν ὀρθῶς λέγειν δοκοῦσιν. ἐκ τούτων ὡς ὑλικῶν, καὶ διὰ τούτων ὡς ποιητικῶν ἅπαντα τἆλλα γίγνεσθαι καὶ φθείρεσθαι, οὐ μὴν ἀλλ᾽ ἁμαρτάνουσιν, εἰ γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τὰ κυρίως εἰσὶ ποιητικά, οὐκ ἐχρῆν αὖ ταῦτα πάσχειν ὑφ᾽ ἑτέρου, ἐκεῖνο γὰρ αὖ μᾶλλον ποιητικὸν, ἢ ταῦτα. τὸ γὰρ πρώτως ποιητικὸν ἀπαθὲς ὀφείλει ὑπάρχειν. νυνὶ δὲ φαίνεται καὶ τὸ πῦρ αὐτὸ μάλιστα θερμὸν ὂν κινούμενον καὶ πάσχον. Ἔτι δὲ παραπλήσιον ποιοῦσιν οἱ τὰς ἐν τοῖς σώμασι δυνάμεις παθητικὰς, ποιητικὰς αἰτίας λέγοντες, ὥσπερ εἴτις τῷ πρίονι, καὶ ἑκάστῳ τῶν ὀργάνων ἀπονέμει τὴν αἰτίαν τῶν γιγνομένων, ὥσπερ γὰρ ταῦτα ὑφ᾽ ἑτέρου κινεῖται, οὕτω τοι καὶ τὸ θερμὸν καὶ ψυχρὸν σῶμα ὑπ᾽ ἄλλου κινούμενα κινεῖ, ὅτι δὲ ἄτοπον τοῖς ὀργάνοις ἀπονέμειν τὴν αἰτίαν τῶν γινομένων δῆλον, τοῦ γὰρ πρώτως ποιοῦντος ὑπάρχοντος ἀνάγκη καὶ τὴν κίνησιν εἶναι, ὥστε ἔδει καὶ πρίονος ὄντος διαιρεῖσθαι, καὶ ξέοντος λεαίνεσθαι, καὶ τῶν ἄλλων ὀργάνων ὁμοίως, εἰ ταῦτα πρώτως εἰσὶ ποιητικά. ὥστε εἰ ὅτι μάλιστα καὶ πρώτως φασὶ ποιεῖν καὶ κινεῖν τὸ πῦρ. ἀλλ᾽ ἁμαρτάνουσιν οὐ προσθεωροῦντες πῶς κινεῖ, ἐπειδὴ γὰρ αὐτὸ τοῦτο ὑπ᾽ ἄλλου κινεῖται, οὐ πρώτως δεῖ κινεῖν, μάλιστα δὲ χεῖρον κινεῖ, ἢ τὰ ὄργανα, ταῦτα γὰρ κυβερνητικὴν ἔχει τὴν τέχνην, ἐκεῖνα δὲ ὑπὸ μηδενὸς διοικεῖται.

## Ἀπορίαι.

Ἀπορεῖται πρῶτον ὅτι δοκεῖ μὲν ὁ Φιλόσοφος ἀΐδια καὶ πρῶτα τὰ οὐράνια λέγειν σώματα, καὶ τούτοις ἐγκρίνειν τὸ ποιητικὸν αἴτιον, οὐχ ἱκαναὶ γάρ φησιν αἱ δύω, καθάπερ οὐδ᾽ ἐν τοῖς πρώτοις, οὕτω τοι καὶ Φιλοπόνου τὴν τοῦ Φιλοσόφου λέξιν ἀναπτύσσοντος. ἀλλὰ κομιδῇ ἡ τοιαύτη ἔκθεσις ἀπεμφαίνει τοῖς ἀλλαχόσε τῷ Σταγειρίτῃ λεγομένοις, τῶν γὰρ ἀϊδίων ποιητικὴν αἰτίαν οὐδαμοῦ τῶν αὐτοῦ συγγραμμάτων παραδίδωσι. μάλιστα δὲ ἐπειδὴ σώματος τὸ ποιητικὸν αἴτιον κατὰ φύσιν ἔνυλον ὀφείλει εἶναι τὰ κεχωρισμένα τῶν εἰδῶν τῆς ὕλης πάντως ἀφελὼν ὁ Φιλόσοφος τελικὰ τίθησι καὶ συνεκτικὰ, ἀλλ᾽ οὐ παραγωγὰ, οὐδὲ δραστικά. ἵνα μὴ ἔνδειαν ὑποφαίνῃ τινὰ, ἢ τῷ τῆς ἐνεργείας τρόπῳ ταῦτα ἀτιμάσῃ, τὴν δὲ ὑπερφυῆ καὶ ἄρρητον πλάσιν θείῳ νεύματι ἀϊ-



ΙΩΑΝΝΙΝΑ 2006